9 Οκτωβρίου 2014

Άγιος Ιάκωβος του Αλφαίου, ο Απόστολος

Ορθοδοξία και Ορθοπραξία / Συναξαριακές Μορφές



Εορτάζει στις 9 Οκτωβρίου εκάστου έτους.

Τον σταυρὸν Ἰάκωβος αἴρων ηδέως,

Ως έστι Σώτερ άξιός σου δεικνύει.
|Αμφ’ ενάτην Ἰάκωβος ενὶ Σταυρώ τετάνυστο.

Βιογραφία
Ο Άγιος Ιάκωβος του Αλφαίου ήταν ένας από τους δώδεκα μαθητές του Κυρίου, αδελφός του Ματθαίου του ευαγγελιστή και γιος του Αλφαίου. Ο Ιάκωβος, αφού αγωνίστηκε για την αλήθεια του Χριστού στην Ιερουσαλήμ, έπειτα πήγε και σε άλλες χώρες για να κηρύξει το Ευαγγέλιο. Εκεί, κατέστρεφε τους βωμούς των ειδώλων και με τη χάρη του Θεού γιάτρευε αρρώστιες και εξεδίωκε τα ακάθαρτα πνεύματα. Γι’ αυτό και οι ειδωλολάτρες τον ονόμαζαν θείο σπέρμα. Ο ιδρώτας, οι μόχθοι και οι κίνδυνοι που υπέστη για τη διάδοση του Ευαγγελίου, ήταν πολλοί. Ο θάνατος πολλές φορές τον πλησίασε, αλλά στη σκέψη του Ιακώβου κυριαρχούσαν ενθαρρυντικά τα λόγια του Κυρίου, «όστις θέλει οπίσω μου ακολουθείν, απαρνησάσθω εαυτόν και αράτω τον σταυρόν αυτού, και ακολουθείτω μοι» (Μάρκου, η’ 34). Εκείνος που θέλει να με ακολουθεί σαν γνήσιος μαθητής μου, λέει ο Κύριος, ας απαρνηθεί το διεφθαρμένο από την αμαρτία εαυτό του, και ας πάρει την απόφαση να υποστεί για μένα όχι μόνο θλίψη και δοκιμασία, αλλά ακόμα και θάνατο σταυρικό. Και τότε ας με ακολουθεί, μιμούμενος το παράδειγμα μου. Έτσι και ο Ιάκωβος, μιμούμενος το Διδάσκαλο του, υπέστη σταυρικό θάνατο.

Ἀπολυτίκιον (Κατέβασμα)
Ἦχος δ’. Ταχὺ προκατάλαβε.
Τὴν χάριν τοῦ Πνεύματος, γλωσσοπυρσεύτω πνοή, ὡς θεῖος ἀπόστολος, ὑποδεχθεῖς τὴ ψυχή, Ἰάκωβε ἔνδοξε, ἔλαμψας ἐν τῷ κόσμῳ, ὡς ἀστὴρ ἑωσφόρος, ἔλυσας τῶν εἰδώλων, τὴν πολύθεον νύκτα. Καὶ νῦν ἀπαύστως δυσώπει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον
Ἦχος γ’.
Ἀπόστολε Ἅγιε Ἰάκωβε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον
Ἦχος πλ. β’. Τὴν ἐν πρεσβείαις.
Ὡς ἑωσφόρον ἐκλάμποντα πᾶσαν κτίσιν, τὸν τοῦ Χριστοῦ αὐτόπτην τε καὶ θεηγόρον, ὕμνοις Ἰάκωβον εὐφημήσωμεν, γεραίροντες τὴν τούτου πανήγυριν

σήμερον· πρεσβεύει γὰρ ἀεὶ ὑπὲρ πάντων ἡμῶν.

Ἕτερον Κοντάκιον
Ἦχος δ΄. Ὁ ὑψωθείς.
Ὁ τῶν ἐθνῶν σαγηνευτὴς ὑπερθαύμαστος, καὶ Μαθητῶν ἀναδειχθεὶς τιμιώτατος, τῶν Ἀποστόλων σύσκηνος Ἰάκωβος, κόσμῳ τῶν ἰάσεων διανέμει τὸν πλοῦτον, λύει περιστάσεων, τοὺς αὐτὸν εὐφημοῦντας, διὸ συμφώνως κράζωμεν αὐτῷ: σῶζε τοὺς πάντας, εὐχαῖς σου Ἀπόστολε.

Κάθισμα
Ἦχος πλ.δ’. Τὴν Σοφίαν καὶ Λόγον.
Τὴν σοφίαν τὴν ὄντως παιδαγωγόν, ἐσχηκὼς σε μυοῦσαν τὰ ὑπὲρ νοῦν, σοφίαν ἐμώρανας, τῶν Ἑλλήνων θεόπνευστε, καὶ ἐθνῶν ἐγένου, φωστὴρ καὶ διδάσκαλος, εὐσεβείας λόγοις, ῥυθμίζων τοὺς ἄφρονας· ὅθεν οἱ ῥυσθέντες, διὰ σοῦ τῆς ἀπάτης, ἀξίως ὑμνοῦμέν σε, καὶ πιστῶς μακαρίζομεν. Θεηγόρε Ἰάκωβε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ὁ Οἶκος
Τὸν οὐρανόθεν τοῦ Λόγου μυηθέντα τὴν γνῶσιν, καὶ τρανῶς τοῖς ἐν γῇ τὸ Εὐαγγέλιον κηρύξαντα, Ἰάκωβον τὸν μέγαν προηρημένος, τοῦ Ἀλφαίου τὸν γόνον, ἀνευφημῆσαι, σὲ δυσωπῶ καταπέμψαι μοι χάριν, Χριστὲ Ἰησοῦ, ὁ πλήσας Πνεύματος θείου τὸν σοφὸν Μαθητήν σου, καὶ κήρυκα τοῦτον πᾶσι τοῖς πέρασι δωρησάμενος, καὶ πρέσβυν πρὸς σὲ εὐπρόσδεκτον· πρεσβεύει γὰρ ἀεὶ ὑπὲρ πάντων ἡμῶν.

Ιερά Λείψανα: Μέρος των Ιερών Λειψάνων του Αγίου βρίσκονται στη ρωμαιοκαθολική Βασιλική των Αγίων Αποστόλων Ρώμης.
Απότμημα του Ιερού Λειψάνου του Αγίου βρίσκεται στη Μονή Παντελεήμονος Αγίου Όρους.

Οπτικοακουστικό Υλικό

Ακούστε το απολυτίκιο!


Αγιογραφίες / Φωτογραφίες



Άγιος Ιάκωβος του Αλφαίου, ο Απόστολος



Άγιος Ιάκωβος του Αλφαίου, ο Απόστολος



Άγιος Ιάκωβος του Αλφαίου, ο Απόστολος

Πηγή: saint.gr